Tamen propius Scholiastæ verba rimanti, qui ait dicendum fuisse ἑστῶτες, mihi videtur de industria propter expectatam & expetitam Pacem dictum ἑστηκότες, nihilque muto, neque negauerim adludere Aristophanem ad illud flagitiosum. sed profecto etiam τὸ stare non est inobscœnum, & ruber ille hortorum Deus non temerè in catalectis iocosis, vocatur stator libidinosus.

Bisetus. Χοροῦ κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν έ.

Χο. Ἀλλ' ἴθι χαίρων, ἡμεῖς δὲ τέως τάδε τὰ σκεύη παραδόντες,
Τοῖς ἀκολούθοις δῶμεν σώζειν, ὡς εἰώθασι μάλιστα,
Περὶ τὰς σκηνὰς πλεῖστοι κλέπται κυπτάζειν καὶ κακοποιεῖν.
Ἀλλὰ φύλαττε σὺ ταῦτ' ἀνδρείως, ἡμεῖς δ' αὖ τοῖσι θεαταῖς,
Ἣν ἔχομεν ὁδὸν λόγων εἴπωμεν, χ' ὅσα τε νοῦς αὐτὸς ἔχει.

B CH. I Pede fausto: At vos interibi adseculis hæc tradite, rapta
Ne pereant fortaßis, nam permulti suenere frequentes
Celebrare istas clàm fures scenas damnis afficientes.
Ergo age fortiter hæc serua tu. Nos spectatoribus ipsis
Interim aperiemus iter verborum & quicquid mens tegit alta.

C

Σχ. Ἀλλ' ἴθι χαίρων] ὁ χορὸς μένων, ποιεῖ παράβασιν οὐ τελείαν, ἀλλὰ κομμάτιον μέν ἐστι τοῦ χοροῦ. ὧν τετράμετρα καταληκτικὰ τέσσαρα μὲν ἐν ἐκθέσει περὶ ταύτας. ὅτι εἰσὶν ἀναπαιστικοὶ τελευταῖοι τροχαϊκοὶ καὶ κατὰ τοῖς ἄλλοις. ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία. τοῦ γὰρ ἐπιρρήματος καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν έ. τὸ δὲ μακρὸν ὁμοίων στίχων λγ. ἡ δ' ἔκθεσις δέκα διμέτρων πλὴν τοῦ τελευταίου καταληκτικῶν. ἐπὶ πᾶσι παράγραφος.

D

Bis. τὰ παλαιὰ σχόλια οὕτως ἐπανόρθωσεν. Ἀλλ' ἴθι χαίρων] ὁ χορὸς μένων ποιεῖ παράβασιν οὐ τελείαν. ἀλλὰ κομμάτιον μέν ἐστι τοῦ χοροῦ. ὧν τετράμετρα ἀναπαιστικὰ καταληκτικὰ πέντε μὲν ἐν εἰσθέσει. παρὰ δὲ ταῦτα εἰσὶν ἀναπαιστικοὶ τελευταῖοι καταληκτικοί, καὶ κατὰ τοῖς ἄλλοις. Ἄλλως. ἡ παράβασις αὕτη οὐκ ἔστι τελεία. τοῦ γὰρ ἐπιρρήματος, καὶ ἀντεπιρρήματος ἐστέρηται. ἔστι τοίνυν τὸ μὲν κομμάτιον στίχων ἀναπαιστικῶν τετραμέτρων καταληκτικῶν έ. τὸ δὲ μακρὸν ὁμοίων στίχων λ. ἡ δὲ ἔκθεσις ιϛ. διμέτρων ἀκαταλήκτων, πλὴν τοῦ β. καὶ τοῦ τελευταίου καταληκτικῶν ὄντων. ἐπὶ πᾶσι παράγραφος.

CH. Ἀλλ' ἴθι χαίρων] Sequuntur Anapæstici Tetrametri Catalectici quinque. Quod metrum Aristophanicum vt vocaretur obtinuit iamdudum, quia plurimus eo vsus Aristophanes. Etsi ante eũ & cratinus & Epicharmus atque adeò Aristoxenus vsi, imò etiam Teleclides & Pherecrates teste Athenæo lib. 4. Non est autem hæc Parabasis, sed potius commatiō, nam in Parabasi τελείᾳ, vt mox sequitur, Epirrhema & Antepirrhema inseritur. Cæterùm lego ἡμεῖς non ὑμεῖς. Ὁδὸν λόγων] Hic versus vltimus ex quinque illis qui Commatium faciunt, non videtur constare suis numeris, legendum fortasse νοῦς ἔχει αὐτός. Neque verò λόγων, qui est Iambus, turbare debet: Nam magister Hephæstion testatur apud Tragicos & Comicos iambũ inter Anapæstos locum habere.

Σχόλια. Τὰ σκεύη] τὰς ἅμας. τὰ χοινία. γυμνὸν γὰρ ποιοῦσιν οἱ κωμικοὶ τὸν χορὸν ἵνα ὀρχῆται. Κυπτάζειν] κρυφιμαίως διατρίβειν καὶ κρύπτεσθαι.

E

## ΠΑΡΑΒΑΣΙΣ.

Χρῆν μὲν τύπτειν τοὺς ῥαβδούχους, εἴ τις κωμῳδοποιητὴς,
Αὑτὸν ἐπαινῶν πρὸς τὸ θέατρον παρέβη λέγων ἐν τοῖς ἀναπαίστοις,
Εἰ δ' οὖν εἰκός τινα τιμῆσαι, θύγατερ Διὸς, ὅστις ἄριστος

F

## Parabasis, vel Excursio.

Dignus certè est quem cædant lictores Comœdopoëta
Ante theatrum qui se Anapæstis solitus diuertere laudat.
Quòd si quisquam meruit laudem, ô Ioue nata patrima virago,

Σχ. Χρῆν μὲν τύπτειν.] νῦν παραβάσει κέχρηται ὁ χορὸς, μηδὲν περὶ τῶν προκειμένων λέγων ἢ τὸν ποιητὴν ἐπαινῶν. παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως, εἰς τὴν καταντικρὺ τοῦ θεάτρου ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως, ἄνευ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ χοροῦ. ἐστρέφετο δὲ ὁ χορὸς καὶ ἐγίνοντο στίχοι δ. εἶτα διελθόντες τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ αὐτοὶ ποιοῦσιν οἱ ποιηταὶ, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ἐν τῷ Παιδαρίῳ. εἰ μὲν μὴ λίαν ἄνδρες ἠναγκαζόμην στρέψαι δεῦρο, οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδε ἐπῶν. ἄμφω σημαίνας, καὶ τὸ στρέφεσθαι καὶ τὸ παραβαίνειν. Κρατῖνος δὲ, ἐν τῇ Πυλαίᾳ δηλοῖ, ὅτι ἐξ ἐστὶ ζυγὰ τοῦ χοροῦ. ὁ δὲ νοῦς. ἐχρῆν μὲν εἴ τις κωμῳδοποιητὴς ἑαυτὸν ἐπαινεῖ παραβάσει χρώμενος, τοὺς ῥαβδούχους ἐκείνους τύπτειν αὐτὸν, ὡς ἀπρεπές τι μεταχειριζόμενον. εἰ δὲ πρέπον ἐστὶν ὦ Μοῦσα ἑαυτὸν ἐπαινέσαι τινὰ φησὶν, ὁ διδάσκαλος ἡμῶν, τουτέστιν ὁ Ἀριστοφάνης, ἄξιος εἶναι πολλῆς τιμῆς. ὅστις Ἀριστοφάνης, ἄριστος γεγένηται. ἦσαν δὲ ἐπὶ τῆς θυμέλης ῥαβδοφόροι τινὲς, οἳ τῆς εὐκοσμίας ἐμέλοντο τῶν θεατῶν. ἢ ῥαβδούχους εἶπε τοὺς κριτὰς τοῦ ἀγῶνος. οὓς ὁ ποιητὴς αἰσυμνήτας εἶπεν.

G